FRANCKESCHE
STIFTUNGEN

Alte Drucke

# EPITHALAMION || SPECTATISSI||MO, DOCTISSIOMOQVE || VIRO D. HINRICO SCHARENHOR-||STIO ILLVSTRISSIMI PRINCIPIS || HINRICI IVLII, Ducis ...

## Rapenius, Georg

## Helmstedt, 1590

## VD16 ZV 27200

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downladed and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-148876

Visual Library

ΕΠΙΘΑΛΑΜΙΟΝ

# SPECTATISSIMO, DOCTISSIMOQVE VIRO D. HINRICO SCHARENHORSTIO ILLVSTRISSIMI PRINCIPIS HINRICI IVLII, Ducis Brunſuicenſium & Luneburgenſium Procuratori, & caſtiſſimæ lectiſſimæq; matronæ Annæ Tunteniæ, ornatiſſimi viri Iohannis Vvinthemij Patricij Hannouerenſis relictæ Viduæ.

*Scriptum à*

*GEORGIO RAPENIO Hannouerano.*

HELMSTADII
Excudebat Iacobus Lucius, 1590.

Ἔστι δρίον παρὰ Ἀννοβέρην πόλιν εὐρυάγυιαν,
ἀμφὶ δὲ λειμῶνες μαλακοὶ καὶ μακρὰ πέλεθρα,
ἔνθα κίον κατὰ νοῦν, πολὺ φίλτατε νυμφίε πάντων,
φρασσάμενος, ποίεισι τεὴν θαλαμήϊον εὐνὴν
ποίην αὐτοῖς. Τῆμος μοι ἤρχατο ἄντην
Λητοΐδης, ἐν χερσὶν ἔχων φόρμιγγα λίγειαν,
τοιοῦτον δ' ἀπὸ γλώσσης ζάθεον λόγον εἶπε.

τίπτε μάτην ὦ κοῦρε κατὰ φρένα καὶ κατὰ θυμὸν
ταῦτα νοεῖς; τίπτ' ἀφραδέως κέκμηαι αὐτὸν
ἔλπεαι; οὐκ οἶσθα φροῦδον μελετᾶν ἀπάνευθε
μουσάων; αἱ γὰρ κλείουσ' ἐρικυδέα φῶτα,
ἠδὲ ἐγείρουσιν θαλάμην μελιγήρυσιν ὕμνοις·
ὣς εἰπὼν βώστρησεν ἐφ' οἱ θεὸς ἐννέα μούσας.
ἀλλὰ ἐπεὶ ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο.
φωνήσας τοῖον κείνας πρὸς μῦθον ἔειπεν.

ἡδυεπεῖς κοῦραι καλὴν φόρμιγγα δέχεσθε,
ἐκ στομάτων θ' ἁπαλῶν γλυκερὸν φωνεῖτε μέλισμα·
Νῦν πιστὸς θεὸς ἀνδρομέου βιότοιο σαωτὴρ,
μειλιχίοις θαλάμου δεσμοῖς ζεύγνυσι φιλοῦντας.
οὕτω φθεγξαμένου εὐθὺς μοῦσαι λιγύφωνοι
κρούουσαι κιθάρην γλαφυρὴν τάδε ῥήματα εἶπον.

Καλλιόπη.

Δώροισι γνώμης γαμβρὲ τρισόλβιε,
πάσαισί τε μούσαις ἔξοχα φίλτατε,
ἐκ διπλυχοῦς πηγῆς ῥέοντος
ἰδμοσύνην νομίμου ἀφύξας.
παντοκράτωρ καὶ αὐτογενὴς θεὸς,
ὃς πάντα μύθῳ ἔκτισε, καὶ ἔτι
συντηρέει, ὑμῖν διδοίη
χρήματα, εὐτυχίην, κλέος τε

εὔπολ-

εὔτιμον εἴη ὑμέτερον λέχος.
ὑμᾶς συνάπτοι φίλτρον ἐφίμερον.
    ἀιεὶ δὲ σὺν μούσαις, Ἀπόλλων
    καὶ χαρίτων χορὸς ὔμμε τέρποι.

Κλειώ.

καὶ σύγε καλὴ καὶ πότνια
Νύμφη, ἁπασῶν ἀόρων
Τοσούτῳ ὀλβιωτέρα
Πέλεις, ὅσον σὸς νυμφίος
βίου καλοῖσιν ἤθεσι,
καὶ γνώσει ὑπερβάλλεται
ἅπαντας ἄνδρας: πηλίκοις
σὲ νῦν γεραίρω κύδεσι;
ἰδοὺ πάρεστιν ὑμέρη,
ὡς σεῖο νυμφίου λέχος
δύσασθαι, οὕτω κέκλεται
θεοῖο ὑψίστου γόνος,
ὃς δοίη ὑμέας μακρὰν
αἴγλην ἀθρῆσαι ἡλίου

Θάλεια.

Σὴν οὖν παντοίης ἀρετῆσι κεκασμένε γαμβρὲ
    Νύμφην λάβ', ἡ οὐκ ἄλλου ἐστὶν ἀξίη.
ἄνναν κουριδίην ἄγε νῦν ποτὶ οἶκον ἄκοιτιν,
    Τὴν γάρ σοι εὗρεν ἀμβρότου θεοῖο παῖς.
ὃς στέρνοις ὑμῶν ἄχραντον ἐνῆκεν ἔρωτα.
    καὶ ἐμπέδοις συνῆψε δεσμοῖς παστάδος.
αὕτη οὖν νύμφη χαρίτων ἄπο κάλλος ἔχουσα
    ἑοῖσι πᾶν τὸ δῶμα κάσμει ἤθεσιν:

ὡς ἠὼς ῥοδέη Τιθωνοῦ λέκτρα λιποῦσα
ἐ ἧσιν ἀκτίνεσσι καταλάμπει χθόνα.

Εὐτέρπη.

Δεῦρ' ἔλθε ὦκα νυμφίε,
Τοιῆς δὲ ἀξιώτατε
Νύμφης, ὃς ἴσχεις εὐκλεὲς
οὔνομα, κλέος τ' ἀγήραον.
Δεῦρ' ἐλθὲ νύμφη νυμφίου
τοιούτου ἀξιωτάτη.
ὑμῖν θυώδη δώματα
θεοῖο ἠνεῴχαται.
μολεῖτε, αἰζηῶν χορὸς
παιᾶνα ὑμῖν μέλπεται.
δίδωσιν ἦχον τύμπανα,
Σεμνή τε πόμπη συῤῥεῖ.

Ἐρατώ.

Νῦν χαῖρε κραδίην φυὴν καὶ εἶδος
Σουσάννη μεγάλως ἐμοίη ἄννα,
σοί γε τρισμάκαρες τοκῆές εἰσι:
σοὶ γηθοῦσι φίλοι θεοῖο οἶκον
εἰς ἁγνὸν σέ γ' ἰοῦσαν ἀθρέοντες.
κεῖνος δ' αὖ μακαρώτατος, σὺν ἥδει
ὅνδ' εἰκόνδ' ἄλοχόν σε ὅστις ἄξει.
χαῖρ' οὖν ὦ καθαρὴ καλή τε νύμφη,
οὐ γὰρ δὴ φρονιμώτερόν ποτ' εἶδον
θνητὸν. θάμβος ἔμ' ἴσχει εἰσορῶσαν.

Πολύμνια.

ὦ Χριστὸς ὃς κανανάιῳ ἐνὶ πτολέθρῳ Γαλιλαίης
ἐπὶ τραπέζης νυμφίου
Στοιχηδὸν κλίνας καὶ εἰς χύσιν ἡδέος οἴνου
ἤμειψας ὕδωρ νηδύμον:
ἐλθὲ, ἕως νύμφη παρὰ ἀργυρόεντα θέμεθλα
ἀκηράτοιο βήματος
Σὺν νύμφῳ ἄγεται, κοινῶντε στήθε' ἀλήλου
Δεσμοῖς ἔρωτος γόμφοε.
Πολυιάδες μεγάλοις ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι,
ἐνθένδ' ἀπῶσι μακρόθεν:
ἱμερόεις δὲ ἔρως ἴσχῃ βασιλήϊον ἀρχὴν.
σὺν ἱερῇ Βολωσίᾳ.

Μελπομένη.

Νῦν ἤτοι ἀπαλῶν ἴσχεο δακρύων,
ὦ νύμφη, προτέρου εἵνεκεν ἀνέρος,
ὃς λεῖψ' ἠελίου ἱμερόεν φάος,
ἱραῖς ἀενάου ἐννεσίαις θεοῦ,
ᾧ πάντεσσιν ἐνὶ πράγμασι πιστέον:
σὺ κοῦν σῆς κραδίης ἔξελε πᾶν ἄχος.
σοὶ γὰρ νῦν προσάγει ὑψιμέδων θεὸς
ἄνδρ' ἀνδρὶ προτέρῳ ἤθεα καὶ φυὴν
πάντως ἶσον, ἀτὰρ καὶ λογιώτερον
καὶ ταῖς Ἀονίσιν φίλτερον ἐννέα:
ὅς σου τέρψις ἔῃ, πάντα τε ἄλγεα
αἱρήσιν θαλερῆς ἐκ σέο καρδίης.

Τερψιχόρη.

χαίρετε νῦν ἄμφω σύ τε νυμφίε καὶ σύγε νύμφη,
χαίρετε νῦν, καιρὸς γὰρ ὑπάρχει:
ὡς λεχέων χλαίνης εὐποιήτων ἐπιβῆναι.
αἰγλῆεν φάος ἠελίοιο,

ἀτρυ-

ἀτρυγέτου ἀπόρουσεν ἐς ὠκεανοῖο ῥέεθρα.
Νὺξ δὲ παροιχομένη ἀπινυσεῖ
ἀνθρώποις θνητοῖσι λύσιν καμάτοιο φέρουσα.
Εἴσιτε οὖν θαλαμήϊον εὐνὴν
ὄφρα ὑπὸ γλυκερῷ πολλὸν τέρπησθε ὀνείρῳ.
Χριστὸς ὁ πάντ᾽ ἐφορῶν καὶ ἀκούων,
εὐτυχίην ὑμῖν, καὶ ὁμοφροσύνην ὀπάσσειεν,
ἧς οὐδὲν κρεῖσσον καὶ ἄρειον.

οὐρανία.

ὦ πάντων θνητῶν πολλὸν μακαρώτατε γαμβρὲ
ὡς κλῆμα σταφυλῆς κοσμεῖ πολύκαρπον ἀλωήν,
οὕτω σοῦ μάλα κεδνοτάτη καθαρή τε ἄκοιτις,
κοσμήσει οὗλον τέκνοισιν ἑοῖσι μέλαθρον.
ὥστε ἐλαιάων πρῶτα βλαστήματα θάλλει,
οὕτω καὶ τέκν᾽ ἀνθήσει σέο ἀμφὶ τράπεζαν.
χαίρετε οὖν ἄμφω σύγε νυμφίε καὶ σύγε νύμφη,
ὀψίγονοι παῖδες σπόρον ὑμέτερον θεάσονται,
ὃν θεός, ὃς μεγάλοισι νοήμασι κόσμον ἐλίσσει,
αὐξήσει πολλοῖς ἀγέλην ὡς, χιλιάδεσσιν.